# TEZAUR LITURGIC

## 4 SEPTEMBRIE
## ISIDORA AGHIROTITISSA

# MEGALINARIA SF.CUVIOS ANTIM DE LA KEFALONIA

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 04 ΣΕΠΤΕΜΒΡΙΟΥ ΜΕΓΑΛΥΝΑΡΙΑ ΑΝΘΙΜΟΥ ΟΣΙΟΥ ΤΟΥ ΚΕΦΑΛΛΗΝΟΣ

**Ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης**

Ὧν ἡ ἀκροστιχίς: Τυφλὸν ὁσιοκήρυκα Ἄνθιμον τιμῶ. Ἰσιδώρας. Ἦχος γ΄. Ἀκατάληπτον ἐστίν.

Ἀκατάληπτον ἐστί, πῶς Ὁσίων οἱ χοροί, ἔργοις θείοις στρατιάς, ἔφθασαν Ἀγγελικάς.

Τρισυπόστατε Μονάς, καὶ ἀχώριστε Τριάς, φώτισαν μὲ δυσωπῶ, Ἄνθιμον ὑμνεῖν τυφλόν.

Ὕψη θεῖα ἀνελθεῖν, Ἄνθιμε ἐπιποθῶν, ἠκολούθεις Μοναστῶν, οὐρανόφρονι χορῷ.

Φωτοδρόμοις σου λιταῖς, σκότος δίωξον παθῶν, ἵνα βαίνω ἀκλινῶς, Ἄνθιμε Θεοῦ ὁδόν.

Λαμπροφόροις ἀρεταῖς, φαίνεις Ἄνθιμε ἡμῖν, καὶ τὸν λύχνον τῆς ψυχῆς, ἄσβεστον διακρατεῖς.

Ὁδοιπόρος ἀπλανής, καὶ ἀκάματος σπορεύς, λόγων εὐαγγελικῶν, Ἄνθιμε διατελεῖς.

Νεουργεῖς τοὺς γηγενεῖς, πολιτείᾳ ἀκραιφνεῖ, Ἄνθιμε καὶ δαδουχεῖς, καινοτρόπῳ σου σπουδῇ.

Ὁλοπόθως τὸν Θεόν, ἀγαπήσας τοῦ Παντός, ὅλῃ Ἄνθιμε ψυχῇ, διηκόνησας Αὐτῷ.

Σέμνωμα θεοπρεπές, τῶν Λεπέδων τῆς Μονῆς, καὶ δομήτωρ ἱερός, ταύτης Ἄνθιμε τελεῖς.

Ἰαμάτων δωρεάς, ἀενάως ἀπαντλεῖς, πᾶσιν Ἄνθιμε πιστοῖς, ὡς θεράπων συμπαθής.

Ὄρος Ἄθω ἱερόν, γάνυται πανευκλεῶς, ὁ ἐδόξασας τὸ πρίν, Ἄνθιμε σῇ βιοτῇ.

Κρήτη νῆσος ἡ κλεινή, χαίρει Ἄνθιμε ἐν σοί, ἀπολαύσασα καλῶς, εἰρηναίας σου φωνῆς.

Ἡδονὰς τὰς σαρκικάς, ἀσιτίας ἀγωγή, ἀπενέκρωσας ταχύ, Ἄνθιμε πιστῶν τρυφή.

Ῥάβδον ἔχων ὁδηγόν, Ἄνθιμε καὶ τὸν Σταυρόν, κομβοσχοίνιον ὁμοῦ, ἔδραμες ὁδὸν Θεοῦ.

Ὑετὸν αὐχμώσῃ, δέδωκας ἐν πλησμονῇ, Ἄνθιμε ὡς Ἠλιοῦ, διαπύροις σοῦ εὐχαῖς.

Καστελλόριζον τιμᾷ, Ἄνθιμε σὴν ἑορτήν, Γεωργίου γὰρ Μονήν, Χαραλάμπους τε πλουτεῖ.

Ἀστυπάλαια ἐν σοί, χαίρει Ἄνθιμε ἀεί, Λείψανά σου ἵερά, ἔχουσα ὡς θησαυρόν.

Ἀπροσίτου φωτισμοῦ, ἐλλαμφθεὶς ταῖς ἀστραπαῖς, καθωδήγεις ὡς Μωσῆς, Ἄνθιμε λαὸν Θεοῦ.

Νυμφοστόλε τῆς Χριστοῦ, Ἄνθιμε συναγωγῆς, τῶν πιστῶν τὸν ὁρμαθόν, ἐπεσύναψας Χριστῷ.

Θεηγόροις λαλιαῖς, καὶ πυκναῖς σοῦ διδαχαῖς, στόμα γέγονας Θεοῦ, Ἄνθιμε πυρσοφαές.

Ἱμερτὸν τοῦ Ἰησοῦ, εἶδες πρόσωπον ἐν σοί, ὡς Ἠλίας καὶ Μωσῆς, Ἄνθιμε ἐν τῷ Θαβώρ.

Μεγαλώνυμος Ἁγνή, Πορταΐτισσα εὐχαῖς, ἐζωγράφισται ταῖς σαῖς, δίχα Ἄνθιμε χειρός.

Ὅρμον εὗρον γαληνόν, δρόσον τε ἐξ Ἀερμών, λόγους Ἄνθιμε τοὺς σούς, ὑποδούλων αἱ ψυχαί.

Νήσους πλείστας διελθών, θεοδρόμος ὡς τυφλός, νᾶμα ἐσταξας αὐταῖς, Ἄνθιμε ζωοποιούν.

Τρικυμίαν χαλεπήν, κατεπράϋνας εὐθύς, τὸν ἰσχύϊ Δυνατόν, Ἄνθιμε ἐπιφωνῶν.

Ἱερὸς προσκυνητής, τῆς θεοβαδιστοῦ γῆς, ἦλθες Ἄνθιμε Χριστοῦ, Τάφον ἅγιον ἰδεῖν.

Μάνδρας κτίσας ἱεράς, πλείστων Ἄνθιμε Μονῶν, γέγονας τῶν Μοναστῶν, ἄριστος χειραγωγός.

Ὡς χρυσὸς δοκιμασθείς, τῆς τυφλώσεως πυρί, καλλονῆς μαρμαρυγαῖς, λάμπεις Ἄνθιμε ἐν γῇ.

Ἱλαρὸν παρεῖχες φῶς, Ἄνθιμε πιστῷ λαῷ, λύχνος ὥσπερ τηλαυγής, ἐν δουλείᾳ ζοφερᾷ.

Σκιογράφου νόμου πρίν, παραβλέψας τὴν ἀχλύν, Ἄνθιμε ὁρᾷς τὸ φῶς, τὸ Θαβώριον ἀεί.

Ἰοβόλον πτερνιστήν, ὄφιν Ἄνθιμε τῇ σῇ, κατενέπρησας εὐχῇ, ἐν Ἀστυπαλαίας γῇ.

Διασπείρας ἀφειδῶς, λόγον εὐαγγελικόν, ἔδρεψας μεστὸν καρπόν, Ἄνθιμε ἐν οὐρανῷ.

Ὡσεὶ ἄνθος ἱερόν, ταῖς καρδίαις τῶν πιστῶν, εὐωδίαν μυστικήν, Ἄνθιμε ἀποκενοῖς.

Ῥῆτορ Ἄνθιμε Θεοῦ, μεγαλεία θαυμαστά, διηγήσῳ τῷ λαῷ, ὡς Δαυΐδ ὁ ἱερός.

Ἀγαλλέσθω ἡ Σιών, δεξαμένη κόλποις σοῖς, τοῦ Ἀνθίμου τοῦ τυφλοῦ, τὴν ὁλόφωτον ψυχήν.

Σκίρτα Κεφαλλήνων γῆ, ἀνεφύη γὰρ ἐκ σοῦ, ὁσιότροπος υἱός, Ἄνθιμος Θεοῦ βλαστός.

Χαίροις Ἄνθιμε κλεινέ, Μοναζόντων ἡ κρηπίς, τῶν κηρύκων καλλονή, ἀομμάτων μέγα φῶς.

Τῶν Ἀγγέλων οἱ χοροί, κατηυφράνθησαν τὴν σήν, ὁδηγήσασαι ψυχήν, Ἄνθιμε Θεοῦ χερσί.

Χεῖράς σου τὰς ἱεράς, ὄμματά τε φωτεινά, ἆρον Ἄνθιμε Θεῷ, φῶς ἰδεῖν ἡμᾶς λαμπρόν.

Πορταΐτισσα σεμνή, σὺν Ἀνθίμῳ τῷ τυφλῷ, πρέσβευε τῷ σῷ Υἱῷ, πᾶσι δοῦναι ἱλασμόν.

Δόξα. Τριαδικόν.
Πάτερ Λόγε καὶ Υἱέ, Πνεῦμά τε τὸ συμφυές, Τρισυπόστατε Μονάς, σῶσον πάντας ἐκ φθορᾶς.

Καὶ νῦν. Θεοτοκίον.
Θεοτόκε Μαριάμ, πύλη θεία τοῦ Φωτός, τῆς ζωῆς τε γλυκασμός, ῥῦσαι μὲ πικρῶν παθῶν.

